14 Ησαυ. [14]οὗτοι δὲ ἦσαν υἱοὶ Ελιβεμας θυγατρὸς Ανα τοῦ υἱοῦ
Σεβεγων, γυναικὸς Ησαυ· ἔτεκεν δὲ τῷ Ησαυ τὸν Ιεους καὶ τὸν
15 Ιεγλομ καὶ τὸν Κορε. — [15]οὗτοι ἡγεμόνες υἱοὶ Ησαυ· υἱοὶ Ελιφας
πρωτοτόκου Ησαυ· ἡγεμὼν Θαιμαν, ἡγεμὼν Ωμαρ, ἡγεμὼν Σωφαρ,
16 ἡγεμὼν Κενεζ, [16]ἡγεμὼν Κορε, ἡγεμὼν Γοθομ, ἡγεμὼν Αμαληκ·
17 οὗτοι ἡγεμόνες Ελιφας ἐν γῇ Ιδουμαίᾳ· οὗτοι υἱοὶ Αδας. [17]καὶ
οὗτοι υἱοὶ Ραγουηλ υἱοῦ Ησαυ· ἡγεμὼν Ναχοθ, ἡγεμὼν Ζαρε,
ἡγεμὼν Σομε, ἡγεμὼν Μοζε· οὗτοι ἡγεμόνες Ραγουηλ ἐν γῇ Εδωμ·
18 οὗτοι υἱοὶ Βασεμμαθ γυναικὸς Ησαυ. [18]οὗτοι δὲ υἱοὶ Ελιβεμας
γυναικὸς Ησαυ· ἡγεμὼν Ιεους, ἡγεμὼν Ιεγλομ, ἡγεμὼν Κορε· οὗτοι
19 ἡγεμόνες Ελιβεμας. — [19]οὗτοι υἱοὶ Ησαυ, καὶ οὗτοι ἡγεμόνες αὐ-
τῶν. οὗτοί εἰσιν υἱοὶ Εδωμ.

20 [20]Οὗτοι δὲ υἱοὶ Σηιρ τοῦ Χορραίου τοῦ κατοικοῦντος τὴν γῆν·
21 Λωταν, Σωβαλ, Σεβεγων, Ανα [21]καὶ Δησων καὶ Ασαρ καὶ Ρισων·
οὗτοι ἡγεμόνες τοῦ Χορραίου τοῦ υἱοῦ Σηιρ ἐν τῇ γῇ Εδωμ.
22 [22]ἐγένοντο δὲ υἱοὶ Λωταν· Χορρι καὶ Αιμαν· ἀδελφὴ δὲ Λωταν
23 Θαμνα. [23]οὗτοι δὲ υἱοὶ Σωβαλ· Γωλων καὶ Μαναχαθ καὶ Γαιβηλ,
24 Σωφ καὶ Ωμαν. [24]καὶ οὗτοι υἱοὶ Σεβεγων· Αιε καὶ Ωναν· οὗτός
ἐστιν ὁ Ωνας, ὃς εὗρεν τὸν Ιαμιν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμεν τὰ
25 ὑποζύγια Σεβεγων τοῦ πατρὸς αὐτοῦ. [25]οὗτοι δὲ υἱοὶ Ανα· Δησων·
26 καὶ Ελιβεμα θυγάτηρ Ανα. [26]οὗτοι δὲ υἱοὶ Δησων· Αμαδα καὶ
27 Ασβαν καὶ Ιεθραν καὶ Χαρραν. [27]οὗτοι δὲ υἱοὶ Ασαρ· Βαλααν καὶ
28 Ζουκαμ καὶ Ιωυκαμ καὶ Ουκαν. [28]οὗτοι δὲ υἱοὶ Ρισων· Ως καὶ
29 Αραμ. — [29]οὗτοι ἡγεμόνες Χορρι· ἡγεμὼν Λωταν, ἡγεμὼν Σωβαλ,
30 ἡγεμὼν Σεβεγων, ἡγεμὼν Ανα, [30]ἡγεμὼν Δησων, ἡγεμὼν Ασαρ,
ἡγεμὼν Ρισων. οὗτοι ἡγεμόνες Χορρι ἐν ταῖς ἡγεμονίαις αὐτῶν
ἐν γῇ Εδωμ.

31 [31]Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Εδωμ πρὸ τοῦ
32 βασιλεῦσαι βασιλέα ἐν Ισραηλ. [32]καὶ ἐβασίλευσεν ἐν Εδωμ Βαλακ
33 υἱὸς τοῦ Βεωρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβα. [33]ἀπέθανεν
δὲ Βαλακ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ιωβαβ υἱὸς Ζαρα ἐκ Βοσορ-
34 ρας. [34]ἀπέθανεν δὲ Ιωβαβ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ασομ ἐκ
35 τῆς γῆς Θαιμανων. [35]ἀπέθανεν δὲ Ασομ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐ-
τοῦ Αδαδ υἱὸς Βαραδ ὁ ἐκκόψας Μαδιαμ ἐν τῷ πεδίῳ Μωαβ, καὶ
36 ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαιμ. [36]ἀπέθανεν δὲ Αδαδ, καὶ ἐβασί-
37 λευσεν ἀντ᾽ αὐτοῦ Σαμαλα ἐκ Μασεκκας. [37]ἀπέθανεν δὲ Σαμαλα,

14 ησαν compl.] > A | ιευς A†: cf. 18 || 15 ηγεμονες D] pr. οι A | υιοι 1°] υιου A† || 16 γοθα A (sed in 11 A γοθομ) || 17 σομε .. μοζε] tr. A† (sed in 13 A σομε .. μοζε) || 18 ιεουλ A: cf. 14 || 19 ουτοι 1°] + δε A† | ηγεμ. mu.] pr. οι A | εισιν] + οι ηγεμονες αυτων A† || 21 ασαρ] σααρ A†: item in 27†. 30 | ηγεμονες] pr. οι A† || 31 ισραηλ] ιερουσαλημ A† || 33 ιωβαδ A† (sed in 34 A ιωβαβ) || 34 της mu.] > A || 36 σαμαλα] σαλαμα A†: item in 37